πολλοὶ ἐκ διαφόρων πόλεων ἐπίσκοποι ἐκινήθησαν· τούτους δὲ ὁ βασιλεὺς ἐκέ-
λευσε προτάξας· μάλιστα δὲ συνέρρεον, ὅσοι πρὸς Ἰωάννην ἄλλος δι' ἄλλην αἰτί-
αν ἐλελύπηντο· παρῆσαν δὲ καὶ ὅσοι τῶν ἐπισκόπων ἀπεκινήθησαν· πολλοὺς γὰρ ὁ
Ἰωάννης καθῃρήκει τῶν ἐν Ἀσίᾳ ἐπισκόπων, ὅτε διὰ τὴν Ἡρακλείδου χει-
ροτονίαν ἀπεληλύθει ἐπὶ τὴν Ἔφεσον. πάντων τοίνυν συμφωνησάντων, εἰς τὴν
Καλχηδόνα τῆς Βιθυνίας συνήρχοντο. τότε γὰρ ἦν ἐπίσκοπος τῆς Καλ-
χηδόνος, Κυρῖνος ἀνὴρ ὢν τῷ γένει Αἰγύπτιος· ὃς καὶ πολλὰ πρὸς τοὺς ἐπισκό-
πους ἔλεγε τὸν ἀσεβῆ· τὸν ἀλαζόνα τὸν ἀκαμπῆ ἀποκαλῶν· ἦν δὲ τὸν οἰωνὸν ἐ-
πὶ τοῖς λεγομένοις ὁ ἐπίσκοπος Μαρουθᾶς ὁ Μεσοποταμίας ἐπίσκοπος, ἄκων
τὸν πόδα τοῦ Κυρίνου ἐπάτησεν· ὁ δὲ ὀδυνηρῶς ἐκ τούτου διατεθείς,
συνδιαβῆναι τοῖς ἐπισκόποις ἐπὶ τὴν Κωνσταντινούπολιν οὐκ ἠδυνήθη· ἀλλ'
ἔμενεν αὐτοῦ ἐν τῇ Καλχηδόνι· οἱ δὲ ἄλλοι διεπεραιώθησαν. Θεόφιλος δὲ οὐ-
δένα τῶν τῆς ἐκκλησίας ἀπαντήσαντα, οὐδὲ τιμὴν τὴν εἰωθυῖαν παρεσχηκότα·
φανερὸς γὰρ ἐχθρὸς ἐγνώσκετο· τὸ Ἀλεξανδρέων τὸ ναυτικόν, ἔτυχε γὰρ τότε
παρεῖναι αἱ σιτηγοὶ τῶν πλοίων, ἀπαντήσαντες, σὺν εὐφημίᾳ ἐδέξαντο.
ὁ δὲ παρῃτεῖτο μὲν ἐπὶ τὸν εὐκτήριον οἶκον εἰσελθεῖν· ἐν μιᾷ δὲ τῶν βα-
σιλικῶν οἰκιῶν καταλύει, ἣ προσωνυμία Πλακιδιανῶν. τότε ἐντεῦθεν ἀρξάμε-
νος ὁ κατὰ Ἰωάννου κατηγορίαι πολλαί· καὶ οὐκέτι μὲν τῶν Ὠριγένους ἐμνη-
μόνευε ἀλλ' ἦν ἐπ' ἑτέρας δὲ ἀτόπους κατηγορίας ἐτρέποντο. τούτων δὲ οὕτω
προκατεσκευασμένων, συνελθόντες οἱ ἐπίσκοποι εἰς προάστειον Καλχηδόνος,
ὃ ἐπώνυμον Δρῦς, καλοῦσιν εὐθὺς τὸν Ἰωάννην ἀπολογησόμενον περὶ ὧν κα-
τηγορεῖτο· ἐκέλευον δὲ παρεῖναι ἅμα αὐτῷ Σαραπίωνα καὶ Τίγριον εὐνοῦχον
πρεσβύτερον καὶ Παῦλον ἀναγνώστην· καὶ γὰρ οὗτοι συγκατηγοροῦντο αὐτῷ.
ἐπειδὴ δὲ ὁ Ἰωάννης τοὺς καλοῦντας ὡς ἐχθροὺς παρεγράφετο, οἰκουμενικὴν δὲ
ἐπεκαλεῖτο σύνοδον, μὴ μελλήσαντες, τετράκις αὐτὸν ἐκάλεσαν· τοῦ δὲ
μὴ βουληθέντος ἀπαντῆσαι, ἀλλὰ ταῦτα αὐτὰ λέγοντος, κατεψηφίσαντο
καὶ καθεῖλον αὐτόν· ἄλλο μὲν οὐδὲν αἰτιασάμενοι, μόνον δὲ ὅτι καλούμενος οὐχ ὑ-
πήκουσε. τοῦτο ἀπαγγελθὲν περὶ ἑσπέραν, πρὸς μεγίστην στάσιν ἐξῆψε τὸ πλῆθος·
καὶ δι' ὅλης νυκτερεύοντες, οὐ συνεχώρουν ἀφέλκεσθαι τῆς ἐκκλησίας αὐτόν· ἀλλ' ἐ-
βόων δεῖν κρίνεσθαι τὰ κατ' αὐτὸν ἐπὶ μείζονος συνεδρίου. ὁ δὲ βασιλεὺς ἐ-
κέλευσε προστάγματι, ἢ τάχος ἐξωθεῖσθαι αὐτὸν καὶ ἐπὶ ἐξορίαν ἀπάγεσθαι.
τοῦτο γνοὺς ὁ Ἰωάννης, τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὴν καθαίρεσιν, περὶ τὸ μεσημβρι-
νὸν, ἐξέδωκε λαθὼν τὸ πλῆθος· ἐφυλάττετο γὰρ μή τις ταραχὴ γένηται
δι' αὐτόν· καὶ ὁ μὲν ἀπήγετο.